εἰπών ... ὡς ε. ὤτρυνε [*ὤτρυνε] πάρος μεμαυῖαν Ἀθήνην,
(Δ) 73.—(T) 349.—(X) 186.—*(ω) 487.

εἰπών ... ὡς ε. ὤτρυνε [*εἰποῦσ' ὤτρυνε] μένος καὶ θυμὸν ἑκάστου.
(E) 470.—(Λ) 291.—(N) 155.—*(θ) 15.

εἰρύσσατο ... ὡς ἄρα φωνήσας ε. φάσγανον ὀξὺ,
(X) 306.—(χ) 79.

εἵσατο ... ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ [*διαπρὸ] δὲ ε. χαλκὸς,
(E) 538.—(P) 518.—*(ω) 524.

εἵσης ... δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐ.
(A) 468.—(A) 602.—(B) 431.—(H) 320.—(Ψ) 56.—(π) 479.—(τ) 425.

εἴσκω ... εἶδός τε μέγεθός τε φυὴν τ' ἄγχιστα ἐ. [*ἐῴκει.]
*(B) 58.—(ζ) 152.

εἶχον ... οἱ δ' ε. [*ἷξον] κοίλην Λακεδαίμονα κητώεσσαν,
(B) 581.—*(δ) 1.

ἐκάλυψαν ... μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐ.
(A) 460.—(B) 423.—(μ) 360.

ἐκάλυψε .. ὡς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐ. μέλαινα,
(P) 591.—(Σ) 22.—(ω) 315.

ἕκαστος ... οἱ μὲν [*δὴ τότε] κακκείοντες ἔβαν οἰκόνδε [†κλισίηνδε] ἕ.
(A) 606.—†(Ψ) 58.—*(α) 424.—(γ) 396.—(η) 229.—(ν) 17.

ἕκαστος ... πάπτηνεν δὲ ἕ., ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
(Ξ) 507.—(Π) 283.—(χ) 43.

ἕκαστος ... οἱ μὲν ἄρ' ἐσκίδναντο ἐὴν ἐπὶ νῆα [*ἐὰ πρὸς δώμαθ'] ἕ.
(T) 277.—(Ψ) 3.—*(β) 258.

ἑκάστου ... ὡς εἰπὼν ὤτρυνε [*εἰποῦσ' ὤτρυνε] μένος καὶ θυμὸν ἑ.
(E) 470.—(Λ) 291.—(N) 155.—*(θ) 15.

ἕκειτο ... ἀστὴρ δ' ὡς ἀπέλαμπεν· ἕ. δὲ νείατος ἄλλων.
(Z) 295.—(ο) 108.

ἐκέλευε ... ὡς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδὲ κέλευον. [*ὡς ἐ.]
*(Ψ) 539.—(δ) 673.—(η) 226.—(θ) 398.—(ν) 47.

ἕκηεν ... ἡ βοὸς ἡ ὄιος κατὰ πίονα μηρία καίων [*μηρί' ἕ.]
(O) 373.—*(δ) 764.

ἐκήρυσσον ... οἱ μὲν ἐ., τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
(B) 52.—(β) 8.

ἔκλιναν ... ἅρματα δ' ἕ. πρὸς ἐνώπια παμφανόωντα·
(Θ) 435.—(δ) 42.

ἔκλυε ... ὡς ἔφατ' εὐχόμενος· τοῦ δ' ἕ. Παλλὰς Ἀθήνη,
(E) 121.—(Ψ) 771.—(γ) 385.—(ζ) 348.

ἔκλυε ... ὡς ἔφατ' εὐχόμενος, τοῦ δ' ἕ. μητίετα Ζεύς.[4]
(Π) 249.—(Ω) 314.—(υ) 102.

Ἕκτορ ... Νέστορ, ἔμ' [*Ἕ., ἔμ'] [†ἐεῖν' εἴ σ'] ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
(K) 220.—*(K) 319.—†(σ) 61.

ἐλάαν ... μάστιξεν δ' ἐ., [*νῆας δ' γλοφυράς·] [†μάστιξεν δ' ἵππους,] [‡μάστιξεν β' ἐ.,] τὼ δ' οὐκ ἀέκοντε [§ἄκοντε] πετέσθην.[5]
(E) 366.—†(E) 768.—(Θ) 45.—†(K) 530.—*(Λ) 281.—†(Λ) 519.—‡(X) 400.—(γ) 484.—(γ) 494.—§(ο) 192.

ἐλαίῳ ... ἔνθα δέ μιν χάριτες λοῦσαν καὶ χρῖσαν ἐ.
(θ) 364.—(H. Ven.) 61.

ἔλασαν ... ἐκ δ' ἕ. [*ἔλασε] προθύροιο καὶ αἰθούσης ἐριδούπου.
*(Ω) 323.—(γ) 493.—(ο) 146.—(ο) 191.

ἔλασε ... ἐκ δ' ἕ. [*ἔλασαν] προθύροι καὶ αἰθούσης ἐριδούπου.
(Ω) 323.—*(γ) 493.—*(ο) 146.—*(ο) 191.

ἔλασεν ... ὡς ἄρα φωνήσας ἕ. [*ἵμασεν] καλλίτριχας ἵππους
(Λ) 531.—(ε) 380.—(ο) 215.

ἔλασσεν ... ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἕ.
(E) 41.—(E) 57.—(Θ) 259.—(Λ) 448.—(χ) 93.

ἐλέησον ... γουνοῦμαί σ', Ὀδυσεῦ, [*Ἀχιλεῦ,] σὺ δέ μ' αἴδεο καί μ' ἐ.·
*(Φ) 74.—(χ) 312.—(χ) 344.

ἐλέλιξεν ... κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐ. Ὄλυμπον
(A) 530.—(H. xxxiv.) 15.

ἐλθεῖν ... μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐ.
(M) 301.—(ζ) 134.

ἐλόντες ... ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐ.· [*ἐλοῦσαι·]
(Σ) 347.—*(θ) 436.

ἐλοῦσαι ... ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐ. [*ἐλόντες]
*(Σ) 347.—(θ) 436.

ἔλυσαν ... οἱ δ' ἵππους μὲν ἕ. [*λῦσαν] ὑπὸ ζυγοῦ ἱδρώοντας,
*(Θ) 543.—(δ) 39.

ἐλών ... ἀμφοτέρῃσι δὲ χερσὶν ἐ. κόνιν αἰθαλόεσσαν
(Σ) 23.—(ω) 316.

ἔμαρπτε ... εὖτε τὸν ὕπνος ἕ. λύων μελεδήματα θυμοῦ,[6]
(Ψ) 62.—(υ) 56.

ἐμάχοντο ... στησάμενοι δ' ἐ. μάχην ποταμοῖο παρ' ὄχθας, [*παρὰ νηυσὶ θοῇσιν,]
(Σ) 533.—*(ι) 54.

ἐμβαλέειν ... πορφύρε' ἐ., στορέσαι τ' ἐφύπερθε τάπητας,
(Ω) 645.—(δ) 298.—(η) 337.

ἐμεῖο ... αὐτίκ' ἔπειτ' ἀπ' ἐ. κάρη τάμοι ἀλλότριος φὼς,
(E) 214.—(π) 102.

ἔμελλεν ... νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔ.
(Υ) 466.—(γ) 146.

---

[1] Comp. K 507.
[2] Comp. H. Apoll. 486.
[3] Comp. T 102.
[4] Comp. A 43, 457, Π 527.
[5] Comp. H. Cer. 379.
[6] Comp. ψ 343.

ἐμήν ... κτῆσιν ἐ. δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα
(Τ) 333.—(η) 225.—(τ) 526.

ἐμῆς ... ἐξ οὗ κεῖθεν ἔβην [*ἔβη] καὶ ἐ. ἀπελήλυθα [*ἀπελήλυθε] πάτρης·
(Ω) 766.—*(τ) 223.

ἐμμεμαῶτες ... ἡμεῖς δ' ἐ. ἅμ' ἐψόμεθ', οὐδέ τί φημι
(Ν) 785.—(ψ) 127.

ἐμίχθη ... φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐ.
(Κ) 457.—(χ) 329.

ἐμπάζομαι ... οὔτε θεοπροπίης ἐ., ἥν τινα οἶδα, [*μήτηρ,]
(Π) 50.—*(α) 415.

ἔμπεδον ... ἀρρήκτους ἀλύτους, ὄφρ' ἔ. αὖθι μένοιεν
(Ν) 37.—(θ) 275.

ἔμπεδος ... εἴθ' ὡς ἡβώοιμι, βίη τε [*δέ] μοι ἔ. εἴη,
*(Η) 157.—(Λ) 670.—(Ψ) 629.—(ξ) 468.

ἐνέποντες ... μύθοισιν τέρποντο [*τερπέσθην μύθοισι] πρὸς ἀλλήλους ἐ.
(Λ) 643.—*(ψ) 301.

ἔνευεν ... ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔ.
(Γ) 337.—(Θ) 480.—(Λ) 42.—(ο) 480.—(Π) 138.—(χ) 124.

ἔνθα ... ἔ. πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι· κ.τ.λ.
(Α) 610.—(τ) 49.

ἐνθέμεναι ... χλαίνας τ' ἐ. οὔλας καθύπερθεν ἕσασθαι.
(Ω) 646.—(δ) 299.—(η) 338.

ἐννοσίγαι' ... ὦ πόποι ἐ. εὐρυσθενὲς, οἷον ἔειπες.[1]
(Η) 455.—(ν) 140.

ἐνοσίχθων ... αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐ.,
(Τ) 318.—(ν) 159.

ἔντο ... αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕ.,
(Α) 469.—(Β) 432.—(Η) 323.—(Ι) 92.—(Ι) 222.—(Ψ) 57.—(Ω) 628.—(α) 150.—(γ) 67.—(γ) 473.—(δ) 68.—(θ) 72.—(θ) 485.—(μ) 308.—(ο) 143.—(ο) 302.—(ο) 501.—(π) 55.—(π) 480.—(ρ) 99.—(Η. Apoll.) 513.

ἐντός ... οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐ. ἵκοντο,
(Α) 432.—(π) 324.

ἐνύπνιον ... κλῦτε φίλοι· θεῖός μοι ἐ. ἦλθεν ὄνειρος
(Β) 56.—(ξ) 495.

ἐνώπια ... ἅρματα δ' ἔκλιναν πρὸς ἐ. παμφανόωντα·
(Θ) 435.—(δ) 42.

ἐνῶρτο ... ἄσβεστος δ' ἄρ' ἐ. γέλως μακάρεσσι θεοῖσιν,
(Α) 599.—(θ) 326.

ἓξ ... ἐ. μὲν θυγατέρες, ἐ. δ' υἱέες ἡβώοντες.
(Ω) 604.—(κ) 6.

ἐξάρχοντος ... μολπῆς ἐ. ἐδίνευον κατὰ μέσσους
(Σ) 606.—(δ) 19.

ἐξεπέρησε ... νύξε· [*πλῆξα·] τὸ δ' ἀντικρὺ [*ἀντικρὺς] δόρυ χάλκεον ἐ.
(Π) 346.—*(κ) 162.

ἐξέταμον ... μηρούς τ' ἐ. κατά τε κνίσῃ ἐκάλυψαν
(Α) 460.—(Β) 423.—(μ) 360.

ἔοικε ... οὐκ ἔστ' οὐδὲ ἔ. τεὸν ἔπος ἀρνήσασθαι·
(Ξ) 212.—(θ) 358.

ἐοικώς ... πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐ.
(Μ) 385.—(μ) 413.

ἐόντα ... αἶψα δ' Ὀδυσσῆα [*δὲ Πάτροκλον] προσεφώνεεν ἐγγὺς ἐ.·
*(Ι) 201.—(Λ) 346.—(χ) 163.

ἐόντας ... ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐ.,
(θ) 365.—(Η. Ven.) 62.

ἐπαρξάμενοι ... νώμησαν [*νώμησεν] δ' ἄρα πᾶσιν ἐ. [*ἐπαρξάμενος] δεπάεσσιν·
(Α) 471.—(Ι) 176.—(γ) 340.—*(η) 183.—(φ) 272.

ἐπαρξάμενος ... νώμησαν [*νώμησεν] δ' ἄρα πᾶσιν ἐπαρξάμενοι [*ἐ.] δεπάεσσιν·
(Α) 471.—(Ι) 176.—(γ) 340.—*(η) 183.—(φ) 272.

ἔπεα ... καί μιν [*σφεας] φωνήσας ἔ. πτερόεντα προσηύδα
(Α) 201.—(Β) 7.—*(Δ) 284.—(Δ) 312.—*(Δ) 337.—(Δ) 369.—(Θ) 101.—(Κ) 163.—*(Κ) 191.—(Ν) 750.—(Ξ) 138.—(Π) 6.—(Ρ) 74.—(Υ) 331.—(Ψ) 601.—(Ψ) 625.—(Ω) 517.—(α) 122.—*(δ) 77.—(ε) 172.—(θ) 346.—(θ) 407.—*(κ) 430.—(ν) 58.—(ν) 227.—(ν) 253.—(ξ) 114.—(ο) 259.—(π) 180.—(σ) 104.—(υ) 198.—(χ) 410.—(ω) 372—(ω) 399.—*(Η. Apoll.) 451.—(Η. Merc.) 435.

ἔπεα ... καί ῥ' [*μ'] ὀλοφυρόμενος ἔ. πτερόεντα προσηύδα[2]
(Ε) 871.—(Λ) 815.—*(λ) 616.—(π) 22.

ἔπεα ... καί μιν [*σφεας] φωνήσασ' ἔ. πτερόεντα προσηύδα·
(Ο) 35.—(Ο) 89.—*(Ο) 145.—(β) 269.—(ε) 117.—(η) 236.—(θ) 442.—(θ) 460.—(ν) 290.—(ψ) 34.—(Η. Cer.) 320.

ἔπεα ... καί ῥ' ὀλοφυρομένη ἔ. πτερόεντα προσηύδα·
(Σ) 72.—(β) 362.—(λ) 472.—(ρ) 40.—(Η. Cer.) 247.

ἐπέεσσιν ... νείκειειν ἐθέλῃσι [*νείκειον δ' Ὀδυσῆα] χολωτοῖσιν ἐ.[3]
(Ο) 210—*(χ) 26.

ἐπείθετο ... ὡς φάτ' Ἀθηναίη, ὁ δ' ἐ., χαῖρε δὲ θυμῷ,[4]
(Χ) 224.—(ω) 545.

ἔπειραν ... μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔ.
(Α) 465.—(Β) 428.—(γ) 462.—(μ) 365.—(ξ) 430.

ἔπειτα ... τώγ' ὡς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔ. κ.τ.λ.
(Α) 531.—(ν) 439.

ἐπενήνοθεν ... ἀμβρότῳ, οἷα θεοὺς ἐ. αἰὲν ἐόντας,
(θ) 365.—(Η. Ven.) 62.

ἔπεο ... ἀλλ' ἔ. προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
(Σ) 387.—(ε) 91.

ἐπέπτατο ... ὡς ἄρα οἱ εἰπόντι ἐ. δεξιὸς ὄρνις,
(Ν) 821.—(ο) 160.—(ο) 525.

ἐπέρεισε ... ἦκ' ἐπιδινήσας, ἐ. δὲ ἷν' ἀπέλεθρον,
(Η) 269.—(ι) 538.

ἐπερρώσαντο ... ἀμβρόσιαι δ' ἄρα χαῖται ἐ. ἄνακτος
(Α) 529.—(Η. xxxiv.) 14.

ἔπεσ' ... κὰδ δ' ἔ. ἐν κονίῃσι μακὰν, ἀπὸ δ' ἔπτατο θυμός.[5]
(Π) 469.—(κ) 163.—(τ) 454.

ἔπεσσι ... δεξιῇ [*χερσίν τ'] ἠσπάζοντο ἔ. τε μειλιχίοισι.
(Κ) 542.—*(τ) 415.

ἐπεστέψαντο ... κοῦροι δὲ [*μὲν] κρητῆρας ἐ. ποτοῖο,
*(Α) 470.—(Ι) 175.—(α) 148.—(γ) 339.—(φ) 271.

ἐπέων ... δὴν δέ μιν ἀμφασίη ἐ. λάβε, τὼ δέ οἱ ὄσσε
(Ρ) 695.—(δ) 704.

ἐπῄνεον ... ὡς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐ. ἠδὲ κέλευον, [*ὡς ἐκέλευε.]
*(Ψ) 539.—(δ) 673.—(η) 226.—(θ) 398.—(ν) 47.

ἐπιδινήσας ... ἦκ' ἐ., ἐπέρεισε δὲ ἷν' ἀπέλεθρον,
(Η) 269.—(ι) 538.

ἐπιθεῖναι ... ἡμὲν ἀνακλῖναι πυκινὸν νέφος [*λόχον] ἠδ' ἐ.
(Ε) 751.—(Θ) 395.—*(λ) 525.

ἐπίθοντο ... ὡς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐ.,
(Η) 379.—(Ι) 79.—(Ξ) 133.—(Ξ) 378.—(Ο) 300.—(Ψ) 54.—(Ψ) 738.—(γ) 477.—(ζ) 247.—(ο) 220.—(υ) 157.—(ψ) 148.—(Η. Apoll.) 502.

ἐπικερτομέων ... τὸν δ' ἐ. προσέφης Πατρόκλεις ἱππεῦ· [*Εὔμαιε συβῶτα·][6]
(Π) 744.—*(χ) 194.

ἐπίκλησιν ... ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐ. καλέουσιν,
(Σ) 487.—(ε) 273.

ἐπικρατέουσιν ... ὅσσοι γὰρ νήσοισιν [*νήεσσιν] ἐ. ἄριστοι,
*(Κ) 214.—(α) 245.—(π) 122.—(τ) 120.

ἐπιμειδήσας ... τὸν δ' ἐ. προσέφη πολύμητις Ὀδυσσεύς·
(Κ) 400.—(χ) 371.

ἐπίσταιτο ... ὅς τις ἐ. ἔῃσι φρεσὶν ἄρτια βάζειν
(Ξ) 92.—(θ) 240.

ἐπισταμένως ... μίστυλλόν τ' ἄρ' ἐ. πεῖράν τ' ὀβελοῖσιν,
(Η) 317.—(Ω) 623.—(τ) 422.

---

[1] Comp. Θ 201. [2] Comp. κ 324, 418. [3] Comp. Δ 241, χ 225. [4] Comp. Φ 423. [5] Comp. σ 98. [6] Comp. Ω 649.

ἐπιτέλλομαι ... κούροισιν μὲν ταῦτ' ἐ.· αὐτὰρ ἔπειτα [*οἱ ἄλλοι]
(Ι) 68.—*(θ) 40.

ἐποίχεσθαι ... ἔργον ἐ.· πόλεμος [*μῦθος] [†τόξον] δ' ἄνδρεσσι μελήσει
(Ζ) 492.—*(α) 358.—†(φ) 352.

ἐποιχόμενος ... οἷς ἀγανοῖς βελέεσσιν ἐ. κατέπεφνεν.[1]
(Ω) 759.—(γ) 280.—(ο) 411.

ἕπον ... τὸν δέρον ἀμφί θ' ἕ., καί μιν διέχευαν ἅπαντα.
(Η) 316.—(τ) 421.

ἕποντο ... οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕ.,
(Γ) 143.—(α) 331.—(σ) 207.

ἕποντο ... ὃς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕ.[2]
(Μ) 251.—(Ν) 833.—(β) 413.—(θ) 46.—(θ) 104.

ἔπος ... ἔν τ' ἄρα [*μοι] οἱ φῦ χειρὶ ἕ. τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
(Ζ) 253.—(Ζ) 406.—(Ξ) 232.—(Ζ) 384.—(Ξ) 423.—(Τ) 7.—(β) 302.—(θ) 291.—*(κ) 280.—(λ) 247.—(ο) 530.

ἔπος ... τέκνον ἐμὸν, [*Ἀτρείδη,] ποῖόν σε ἕ. φύγεν ἕρκος ὀδόντων.[3]
(Δ) 350.—(Ξ) 83.—(α) 64.—(ε) 22.—(τ) 492.—(ψ) 70.

ἔπος ... οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἕ. ἀρνήσασθαι
(Ξ) 212.—(θ) 358.

ἔπος ... χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἕ. ηὔδα·
(Ο) 114.—(Ο) 398.—(ν) 199.

ἔπος ... Ἴρι θεὰ, [*Δαοδάμα,] μάλα τοῦτο ἕ. κατὰ μοῖραν ἔειπες·
(Ο) 206.—*(θ) 141.

ἕπτατο ... κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὰν, ἀπὸ δ' ἕ. θυμὸς[4]
(Π) 469.—(κ) 163.—(τ) 454.

ἔργα ... ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἕ. κόμιζε,
(Ζ) 490.—(α) 356.—(φ) 350.

ἔργα ... Αἴας, [*Αἴανθ',] ὃς περὶ μὲν εἶδος, περὶ δ' ἕ. τέτυκτο
(Ρ) 279.—*(λ) 550.

ἔργον ... ἕ. ἐποίχεσθαι· πόλεμος [*μῦθος] [†τόξον] δ' ἄνδρεσσι μελήσει
(Ζ) 492.—*(α) 357.—†(φ) 351.

ἔργον ... ὦ πόποι, [*πάτερ,] ἦ μέγα θαῦμα [†ἕ.] τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
(Ν) 99.—(Ο) 286.—(Υ) 344.—(Φ) 54.—*(τ) 36.—(H. Merc.) 219.—*†(Batrach.) 272.

ἔργον ... ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἐμ' ἵστασο καὶ ἴδε ἕ.,[5]
(Ρ) 179.—(χ) 233.

ἐρετμοῖς ... καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρεσσαν ἐ.
(Α) 435.—(ο) 497.

ἐρέω ... ἄλλο δέ τοι ἐ., σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·[6]
(Α) 297.—(Δ) 39.—(Ε) 259.—(Ι) 611.—(Π) 444.—(Π) 851.—(Φ) 94.—(λ) 454.—(π) 281.—(π) 299.—(ρ) 548.—(τ) 236.—(τ) 495.—(τ) 570.

ἐρέω ... ἀλλ' ἔκ τοι ἐ., τὸ δὲ καὶ τετελεσμένον ἔσται·
(Β) 257.—(β) 187.—(ρ) 229.—(σ) 82.

ἐρέω ... τοῦτο δέ τοι [*ἀλλὰ καὶ ὃς] ἐ., ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς[7]
(Γ) 177.—(η) 243.—(ο) 402.—*(τ) 171.

ἐρέω ... τοὔνεκά [*ἐκ γάρ] τοι ἐ.· σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
(Ζ) 334.—*(ο) 318.—(σ) 129.—*(ω) 265.

ἐρέω ... αὐτὰρ [*τοιγὰρ] ἐγὼν ἐ., ὥς μοι δοκεῖ εἶναι ἄριστα.
(Ι) 103.—(Ι) 314.—(Ν) 735.—*(ψ) 130.—*(Batrach.) 152.

ἐρέω ... ψεύσομαι, ἦ ἔτυμον ἐ.; κέλεται δέ με θυμός.
(Κ) 534.—(δ) 140.

ἐρέω ... σῆμα δέ τοι ἐ. μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει.[8]
(Ψ) 326.—(λ) 126.

ἐριδούπου ... ἐκ δ' ἔλασαν [*ἔλασε] προθύροιο καὶ αἰθούσης ἐ.
*(Ω) 323.—(γ) 493.—(ο) 146.—(ο) 191.

ἐριούνης ... ἠδὲ [*ἦλθε] Ποσειδάων γαιήοχος ἠδ' [*ἦλθ'] ἐ.
(Υ) 34.—*(θ) 322.

ἕρκος ... τέκνον ἐμὸν [*Ἀτρείδη,] ποῖόν σε ἔπος φύγεν ἕ. ὀδόντων[9]
(Δ) 350.—(Ξ) 83.—(α) 64.—(ε) 22.—(τ) 492.—(ψ) 70.

ἕρματα ... ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ' ἕ. μακρὰ τάνυσσαν·
(Α) 486.—(H. Apoll.) 507.

Ἑρμείας ... Ἑ. μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
(Ω) 694.—(κ) 307.

ἔρον ... αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἕ. ἕντο,
(Α) 469.—(Β) 432.—(Η) 323.—(Ι) 92.—(Ι) 222.—(Ψ) 57.(Ω) 628.—(α) 150.—(γ) 67.—(γ) 473.—(δ) 68.—(θ) 72.—(θ) 485.—(μ) 308.—(ο) 143.—(ο) 302.—(ο) 501.—(π) 55.—(π) 480.—(ρ) 99.—(H. Apoll.) 513.

ἕρπει ... πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕ.
(Ρ) 447.—(σ) 131.

ἐρύσαντο ... ὤπτησάν τε περιφραδέως ἐ. τε πάντα.[10]
(Α) 466.—(Β) 429.—(Η) 318.—(Ω) 624.—(ξ) 431.

ἔρυσσαν ... νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροιο ἕ.
(Α) 485.—(π) 325.

ἐρύσσεσθαι ... τρὶς μέν μιν πελέμιξεν ἐ. μενεαίνων,
(Φ) 176.—(φ) 125.

ἔρυτο ... ἡ δ' οὐκ ἔγχος ἕ., διὰ πρὸ [*διαπρὸ] δὲ εἴσατο χαλκὸς,
(Ε) 538.—(Ρ) 518.—*(ω) 524.

ἐρωήσει ... αἶψά τοι [*οἱ] αἷμα κελαινὸν ἐ. περὶ δουρί.
(Α) 303.—*(π) 441.

ἕσασθαι ... χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕ.
(Ω) 646.—(δ) 299.—(η) 338.

ἔσθ' ... ἕ. [*ἶς,] οἴη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν[11]
(Λ) 669.—*(φ) 283.—(H. Ven.) 238.

ἐσθλῆς ... ἐ. ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
(Α) 576.—(σ) 404.

ἔσκεν ... ἔσθ' [*ἶς,] οἴη πάρος ἕ. ἐνὶ γναμπτοῖσι μέλεσσιν[12]
(Λ) 669.—*(φ) 283.—(H. Ven.) 238.

ἐσκίδναντο ... οἱ μὲν ἄρ' ἐ. ἐὴν ἐπὶ νῆα [*ἐὰ πρὸς δώματ'] ἕκαστος,
(Τ) 277.—(Ψ) 3.—*(β) 258.

ἔσσαντο ... αὐτὰρ ἐπεί ῥ' ἕ. περὶ χροΐ νώροπα χαλκὸν,
(Ξ) 383.—(ω) 467.—(ω) 500.

ἔσσεται ... ἐσθλῆς ἕ. ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
(Α) 576.—(σ) 404.

ἔστ' ... οὐκ ἕ. οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
(Ξ) 212.—(θ) 358.

ἔσται ... ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος [*ἄξιον] ἕ. κ.τ.λ.
(Ψ) 562.—*(θ) 405.

ἐστί ... εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐ. κ.τ.λ.
(Ξ) 196.—(Σ) 427.—(ε) 90.

ἔσχετο ... δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἕ. φωνή.
(Ρ) 696.—(Ψ) 397.—(δ) 705.—(τ) 472.

ἑτοῖμα ... οἵ δ' ἐπ' ὀνείαθ' ἐ. προκείμενα χεῖρας ἔλλον.
(Ι) 91.—(Ι) 221.—(Ω) 627.—(α) 149.—(δ) 67.—(δ) 218.(ε) 200.—(θ) 71.—(θ) 484.—(ξ) 453.—(ο) 142.—(π) 54.(ρ) 92.—(υ) 256.

ἔτυμον ... ψεύσομαι, ἦ ἕ. ἐρέω; κέλεται δέ με θυμός.
(Κ) 534.—(δ) 140.

εὖ ... ὅς σφιν ἐ. φρονέων ἀγορήσατο καὶ μετέειπεν·
(Α) 73.—(Α) 253.—(Β) 78.—(Β) 283.—(Η) 326.—(Η) 367.—(Ι) 95.—(Ο) 285.—(Σ) 253.—(β) 160.—(β) 228.(η) 158.—(π) 399.—(ω) 53.—(ω) 453.

Εὔδωρον ... Ε. [*Ἀντίλοχον,] περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.[13]
(Π) 186.—*(δ) 202.

Ἐύμαιε ... τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλειε ἱππεῦ· [*Ἐ. συβῶτα·][14]
(Π) 744.—*(χ) 194.

---

1 Comp. ε 124, λ 173, 199.
2 Comp. Υ 144.
3 Comp. γ 230, φ 168.
4 Comp. σ 98.
5 Comp. Λ 314.
6 Comp. H. Apoll. 261.
7 Comp. α 231, ο 390.
8 Comp. ψ 273.
9 Comp. γ 230, φ 168.
10 Comp. τ 423.
11 Comp. λ 394.
12 Ibid.
13 Comp. γ 112.
14 Comp. Ω 649.

εὐνάς ... ἐκ δ' ε. ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
(A) 436.—(ο) 498.

εὕξαντο ... αὐτὰρ ἐπεί β' ε. καὶ οὐλοχύτας προβάλοντο,
(A) 458.—(B) 421.—(γ) 447.

εὔπωλον ... Ἴλιον εἰς ε., ἵνα Τρώεσσι μάχοιτο. [*μαχοίμην.]
(Π) 576.—*(λ) 169.—(ξ) 71.

ἐυξέστας ... ἔς β' [*ἐς δ'] ἀσαμίνθους βάντες ἐ. λούσαντο.
(K) 576.—(δ) 48.—*(ρ) 87.

εὐρυμέτωπον ... σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἧνιν ε.,
(K) 292.—(γ) 382.

εὐρύς ... ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς ε. ὕπερθε.
(O) 36.—(ε) 184.—(H. Apoll.) 84.

εὐρυσθενές ... ὦ πόποι ἐννοσίγαι' ε., οἷον ἔειπες.[1]
(H) 455.—(ν) 140.

εὖτε ... ε. τὸν ὕπνος ἕμαρπτε λύων μελεδήματα θυμοῦ,[2]
(Ψ) 62.—(υ) 56.

εὔτυκτον ... κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ε. ἔθηκεν,
(Γ) 336.—(O) 480.—(Π) 137.—(χ) 123.

εὔχετο ... ε. χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
(O) 371.—(ι) 527.

εὐχόμενος ... ὣς ἔφατ' ε.· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
(E) 121.—(Ψ) 771.—(γ) 385.—(ζ) 328.

εὐχόμενος ... ὣς ἔφατ' ε., τοῦ δ' ἔκλυε μητίετα Ζεύς.[3]
(Π) 249.—(Ω) 314.—(υ) 102.

ἔφαθ' ... ὣς ἔ., οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. κ.τ.λ.[4]
(Γ) 95.—(H) 92.—(H) 398.—(Θ) 28.—(I) 29 —(I) 430.
(I) 693.—(K) 218.—(K) 313.—(Ψ) 676.—(θ) 284.—(λ) 333.—(ν) 1.—(π) 393.—(υ) 320.

ἔφατ' ... ὣς ἔ. εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη, κ.τ.λ.
(E) 121.—(Ψ) 771.—(γ) 267.—(ζ) 382.

ἐφύπερθε ... πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐ. τάπητας,
(Ω) 645.—(δ) 298.—(η) 327.

ἐφώνησεν ... ὣς ἄρ' ἔ., λῦσεν [*λῦσαν] δ' ἀγορὴν αἰψηρήν.
(T) 276.—*(β) 257.

ἔχεαν ... ἐν δ' ἄρ' ὕδωρ ἔ., ὑπὸ δὲ ξύλα δαῖον ἐλόντες. [*ἐλοῦσαι.]
(Σ) 347.—*(θ) 436.

ἔχευαν ... τοῖσι δὲ [*αὐτίκα] κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔ.,[5]
*(I) 174.—(α) 146.—(γ) 338.—(φ) 270.

ἐχθρός ... ἐ. γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
(I) 312.—(ξ) 156.

ἔχον ... λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔ. πεμπώβολα χερσίν.
(A) 463.—(γ) 460.

ἔχουσ' ... οἶνον ἔ. [*ἔχων] ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
(Ω) 284.—*(ο) 148.

ἔχων ... οἶνον ἔ. [*ἔχουσ'] ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
*(Ω) 284.—(ο) 148.

ἔχων ... τὴν μετὰ χερσὶν ἔ. πέτετο κρατὺς ἀργεϊφόντης.
(Ω) 345.—(ε) 49.

ἐψόμεθ' ... ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἐ., οὐδέ τί φημι
(N) 785.—(ψ) 127.

ἐῴκει ... εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐ. [*ἐίσκω.]
(B) 58.—*(ζ) 152.

Z

ζέσσεν ... αὐτὰρ ἐπεὶ δὴ ζ. ὕδωρ ἐνὶ ἠνοπι χαλκῷ,
(Σ) 349.—(κ) 360.

Ζεῦ ... αἲ γὰρ Ζ. τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
(B) 371.—(Δ) 288.—(H) 132.—(Π) 97.—(δ) 341.—(η) 311.—(ρ) 132.—(σ) 235.—(ω) 376.

Ζεῦ ... Ζ. πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·[6]
(Γ) 365.—(υ) 201.

Ζεύς ... ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζ.[7]
(Π) 249.—(Ω) 314.—(υ) 102.

Ζεύ ... ἴστω νῦν Ζ. πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,[8]
(T) 258.—(τ) 303.

ζυγόν ... ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζ. ἤγαγεν ἀνήρ·
(K) 293.—(γ) 383.

ζυγοῦ ... οἱ δ' ἵππους μὲν λῦσαν [*ἔλυσαν] ὑπὸ ζ. ἱδρώοντας,
(Θ) 543.—*(δ) 39.

H

ἦ ... ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
(A) 528.—(P) 209.—(H. xxxiv.) 13.

ἥβη ... πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥ.
(Ω) 348.—(κ) 279.

ἡβώοιμι ... εἴθ' ὡς ἡ., βίη τέ [*δέ] μοι ἔμπεδος εἴη,
*(H) 157.—(Λ) 670.—(Ψ) 629.—(ξ) 468.

ἡβώοντες ... ἐξ μὲν θυγατέρες, ἐξ δ' υἱέες ἡ.
(Ω) 604.—(κ) 6.

ἤγαγεν ... ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤ. ἀνήρ·
(K) 293.—(γ) 383.

ἠγείροντο ... οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἡ. μάλ' ὦκα.
(B) 52.—(β) 8.

ἤγερθεν ... αὐτὰρ ἐπεί β' ἤ. ὁμηγερέες τ' ἐγένοντο.[9]
(Ω) 790.—(β) 9.—(θ) 24.—(ω) 421.

ἠγήσατο ... ὣς ἄρα φωνήσας ἡ., τοὶ δ' ἅμ' ἕποντο[10]
(M) 251.—(N) 833.—(β) 413.—(θ) 46.—(θ) 104.

ἥδε ... ἦ. δέ οἱ [*μοι] κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
(B) 5.—(K) 17.—(Ξ) 161.—*(ι) 318.

ἥδη ... νήπιος, οὐδὲ τὸ ἤ., ὃ οὐ πείσεσθαι ἔμελλεν·
(Υ) 466.—(γ) 146.

ἥδος ... ἐσθλῆς ἔσσεται ἤ., ἐπεὶ τὰ χερείονα νικᾷ.
(A) 576.—(σ) 404.

ἡδύ ... ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡ. γέλασσαν
(Ψ) 784.—(υ) 358.—(φ) 376.

ἠελίοιο ... καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠ.,[11]
(Ψ) 154.—(π) 220.—(φ) 226.

ἠέλιον ... ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠ. καταδύντα[12]
(A) 601.—(ι) 161.—(ι) 556.—(κ) 183.—(κ) 476.—(μ) 29.
(τ) 424.

ἠέλιος ... ἦμος δ' ἠ. κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε.
(A) 475.—(ι) 168.—(ι) 558.—(κ) 185.—(κ) 478.—(μ) 31.
(τ) 426.

ἠέλιος ... ἠ. μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
(H) 421.—(τ) 433.

ἠέλιος ... ἦμος δ' ἠ. μέσον οὐρανὸν ἀμφιβεβήκει, [*ἀμφιβεβήκῃ,][13]
(Θ) 68.—*(δ) 400.

ἠέλιος ... ἦμος δ' ἠ. μετενίσσετο βουλευτόνδε,
(Π) 779.—(ι) 58.

ἦεν ... ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦ τ' ἂν πολὺ κέρδιον ἦ., κ.τ.λ.
(E) 201.—(X) 103.—(ι) 228.

ἤθελε ... αὐτὰρ ἐπεὶ [*οἱ δ' ἐπεὶ οὖν] σπεῖσάν τε πίον θ' ὅσον ἤ. θυμὸς,
(I) 177.—(γ) 342.—(γ) 395.—(η) 184.—(η) 228.—(σ) 427.—*(φ) 273.

ἧκ' ... ἦ. ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον,
(H) 269.—(ι) 538.

ἡλακάτην ... ἱστόν τ' ἡ. τε, καὶ ἀμφιπόλοισι κέλευε
(Z) 491.—(α) 357.—(φ) 351.

ἦλθ' ... ἠδὲ [*ἦλθε] Ποσειδάων γαιήοχος ἠδ' [*ἦ.] ἐριούνης
(Υ) 34.—*(θ) 322.

---

[1] Comp. Θ 201.
[2] Comp. ψ 343.
[3] Comp. A 43, 457, Π 527.
[4] Comp. η 154.
[5] Comp. Γ 270.
[6] Comp. Ψ 439.
[7] Comp. A 43, 457, Π 527.
[8] Comp. ξ 158, ρ 155, υ 230.
[9] Comp. A 57.
[10] Comp. Y 144.
[11] Comp. ψ 241.
[12] Comp. H. Merc. 206.
[13] Comp. II 777.

ἦλθε ... ἦ. [*ἠδὲ] Ποσειδάων γαιήοχος ἦλθ' [*ἠδ'] ἐριούνης
*(Υ) 34.—(θ) 322.

ἦλθεθ' ... ἦ. ὑπὸ [*ἤλυθον ἐς] Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες.
*(Κ) 28.—(δ) 146.

ἦλθεν ... ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦ.,
(Α) 475.—(ι) 168.—(ι) 558.—(κ) 185.—(κ) 478.—(μ) 31.
(τ) 426.

ἦλθεν ... κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦ. ὄνειρος
(Β) 56.—(ξ) 495.

ἦλυθ' ... ἀντικρὺ [*ἀντικρὺς] δ' ἀπαλοῖο δι' αὐχένος ἦ. ἀκωκή.
(Ρ) 49.—(Χ) 327.—*(χ) 16.

ἦλυθον ... ἦ. ἐς [*ἤλθεθ' ὑπὸ] Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες.
(Κ) 28.—*(δ) 146.

ἦμαρ ... ἅς τότε μὲν πρόπαν ἦ. ἐς ἠέλιον κατεδύντα[1]
(Α) 601.—(ι) 161.—(ι) 556.—(κ) 183.—(κ) 476.—(μ) 29.
(τ) 424.

ἦμαρ ... ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱέρον ἦ.,
(Θ) 66.—(Λ) 83.—(ι) 56.

ἡμεῖς ... ἦ. δ' ἐμμεμαῶτες ἅμ' ἐψόμεθ', οὐδέ τί φημι
(Ν) 785.—(ψ) 127.

ἡμὲν ... ἦ. ἀνακλῖναι πυκινὸν νέφος [*λόχον] ἠδ' ἐπιθεῖναι. κ.τ.λ.
(Ε) 751.—(Θ) 395.—*(λ) 525.

ἡμέτερε ... ὦ πάτερ ἦ. Κρονίδη, ὕπατε κρειόντων,
(Θ) 51.—(α) 45.—(α) 81.—(ω) 473.

ἦμος ... ἦ. δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν, κ.τ.λ.
(Α) 475.—(ι) 168.—(ι) 558.—(κ) 185.—(κ) 478.—(μ) 31.
(τ) 426.

ἦν ... ἀδμήτην, ἦ. οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ· κ.τ.λ.
(Κ) 293.—(γ) 283.

ἦν ... ὄφρα μὲν ἠὼς ἦ. καὶ ἀέξετο ἱέρον ἦμαρ, κ.τ.λ.
(Θ) 66.—(Λ) 83.—(ι) 56.

ἦνιν ... σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦ. εὐρυμέτωπον,
(Κ) 292.—(γ) 382.

ἤνοπι ... αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἦ. χαλκῷ,
(Σ) 349.—(κ) 360.

ἤντησ' ... ἦ. οὐδὲ ἴδον· περὶ δ' ἄλλων φασὶ γενέσθαι.
(Δ) 375.—(δ) 201.

ἠπείροιο ... νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠ. ἔρυσσαν
(Α) 485.—(π) 325.

ἠριγένεια ... ἦμος δ' ἠ. φάνη ῥοδοδάκτυλος ἠὼς,
(Α) 477.—(Ω) 788.—(β) 1.—(γ) 404.—(γ) 491.—(δ) 306.
(δ) 431.—(δ) 570.—(ε) 228.—(θ) 1.—(ι) 152.—(ι) 170.
(ι) 307.—(ι) 437.—(κ) 187.—(μ) 8.—(μ) 306.—(ν) 18.
(ο) 189.—(ρ) 1.—(τ) 428.

ἦρχε ... τοῖσι δὲ μύθων ἦ. θεὰ γλαυκῶπις Ἀθήνη·
(Ε) 420.—(η) 47.

ἦρχε ... τοῖσι δὲ μύθων ἦ. πατὴρ ἀνδρῶν τε θεῶν τε·
(Χ) 167.—(α) 28.

ἠρώων ... ἦ., τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
(Ε) 741.—(Θ) 391.—(α) 101.

ἧσι ... ὅς τις ἐπίσταιτο ἦ. φρεσὶν ἄρτια βάζειν
(Ξ) 92.—(θ) 240.

ἡσπάζοντο ... δεξιῇ [*χερσίν τ'] ἠ. ἔπεσσί τε μειλιχίοισι.
(Κ) 542.—*(τ) 415.

ἧτορ ... ὡς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦ.·[2]
(Φ) 114.—(ω) 345.

ἠΰδα ... χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος η.·
(Ο) 114.—(ο) 398.—(ν) 199.

ἠώς ... ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠ.,
(Α) 477.—(Ω) 788.—(Β) 1.—(γ) 404.—(γ) 491.—(δ) 306.
(δ) 431.—(δ) 576.—(ε) 228.—(θ) 1.—(ι) 152.—(ι) 170.
(ι) 307.—(ι) 437.—(ι) 560.—(κ) 187.—(μ) 8.—(μ) 316.
(ν) 18.—(ο) 189.—(ρ) 1.—(τ) 428.

ἠώς ... ὄφρα μὲν ἠ. ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
(Θ) 66.—(Λ) 83.—(ι) 56.

Ἠώς ... Ἠ. δ' ἐκ λεχέων παρ' ἀγανοῦ Τιθωνοῖο
(Λ) 1.—(ε) 1.

Θ

θάλαμον ... αὐτὸς [*αὐτὴ] δ' ἐς θ. κατεβήσετο κηώεντα,
*(Ζ) 288.—(Ω) 191.—(ο) 99.

θαλάσσης ... ἐκ δὲ καὶ αὐτοὶ βῆμεν [*βαῖνον] ἐπὶ ῥηγμῖνι θ.
(Α) 437.—(ι) 150.—(ι) 547.—(μ) 6.—(ο) 499.—*(Η. Apoll.) 505.

θαλάσσης ... νῆυς ἀνύσειε θέουσα θ. ἁλμυρὸν ὕδωρ
(ο) 294.—(Η. Apoll.) 435.

θαλερή ... δακρυόφι πλῆσθεν, θ. δέ οἱ ἔσχετο φωνή.
(Ρ) 696.—(Ψ) 397.—(δ) 705.—(τ) 472.

θανάτῳ ... νῦν δέ με λευγαλέῳ θ. εἵμαρτο ἁλῶναι[3]
(Φ) 281.—(ε) 312.

θάρσει ... θ., μηδέ τι πάγχυ [*σῇσι] μετὰ φρεσὶ δείδιθι λίην·
(δ) 825.—*(Η. Ven.) 193.

θαῦμα ... ὦ πόποι, [*πάτερ,] ἦ μέγα θ. [†ἔργον] τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
(Ν) 99.—(Ο) 286.—(Υ) 344.—(Φ) 54.—*(τ) 36.—(Η. Merc.) 219.—*†(Batrach.) 272.

θεά ... τοῖσι δὲ μύθων ἦρχε θ. γλαυκῶπις Ἀθήνη·
(Ε) 420.—(η) 47.

θεά ... Ἴρι θ., [*Λαοδάμα,] μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
(Ο) 206.—*(θ) 141.

θείειν ... Εὔδωρον, [*Ἀντίλοχον,] περὶ μὲν θ. ταχὺν ἠδὲ μαχητήν.[4]
(Π) 186.—*(δ) 202.

θείοιο ... αὐτὸς [*αὐτὴ] δ' ἀντίον ἷζεν Ὀδυσσῆος θ.
(Ι) 218.—*(ε) 198.—(π) 53.

θείοιο ... πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θ. λαθοίμην,
(Κ) 243.—(α) 65.

θεῖός ... κλῦτε φίλοι· θ. μοι ἐνύπνιον ἦλθεν ὄνειρος
(Β) 56.—(ξ) 495.

θείω ... ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θ.
(Σ) 387.—(ε) 91.

θέλγει ... εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θ.,[5]
(Ω) 343.—(ε) 47.

θέμεναι ... δέμνι' ὑπ' αἰθούσῃ θ., καὶ ῥήγεα καλὰ
(Ω) 644.—(δ) 297.—(η) 336.

θεοῖσιν ... ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θ.
(Α) 599.—(θ) 326.

θεοῖσιν ... ὅρκος δεινότατός τε πέλει μακάρεσσι θ.,
(Ο) 38.—(ε) 186.—(Η. Apoll.) 86.

θεοπροπίης ... οὔτε θ. ἐμπάζομαι, ἥν τινα οἶδα, [*μήτηρ,]
(Π) 50.—*(α) 415.

θεούς ... ἀμβρότῳ, οἷα θ. ἐπενήνοθεν αἰὲν ἐόντας,
(θ) 365.—(Η. Ven.) 62.

θέουσα ... νῆυς ἀνύσειε θ. θαλάσσης ἁλμυρὸν ὕδωρ.
(ο) 294.—(Η. Apoll.) 435.

θέρμετο ... γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θ. δ' ὕδωρ.
(Σ) 348.—(θ) 437.

θέτο . . αὐτὰρ ὁ γ' [*αὐτὸς δ'] ἀμφ' ὤμοισι σάκος θ. τε λυμνον,
(Ο) 479.—*(χ) 122.

θεῶν . . Ζεῦ πάτερ, οὔ τις σεῖο θ. ὀλοώτερος ἄλλος·
(Γ) 365.—(υ) 201.

θεῶν ... οὔτε θ. μακάρων οὔτε θνητῶν ἀνθρώπων.
(ι) 521.—(Η. Merc.) 143.—(Η. Ven.) 35.

θεῶν ... ἀλλ' ἦ τοι μὲν ταῦτα θ. ἐν γούνασι κεῖται·[6]
(Ρ) 514.—(Υ) 435.—(α) 267.—(π) 129.

[1] Comp. H. Merc. 206. [2] Comp. Φ 425, δ 703, χ 68, ψ 205. [3] Comp. ω 34. [4] Comp. γ 112. [5] Comp. ω 3. [6] Con

θεῶν ... ἴστω νῦν Ζεὺς πρῶτα, θ. ὕπατος καὶ ἄριστος,[1]
(Τ) 258.—(τ) 303.

θεῶν ... τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θ. τε·
(Χ) 167.—(α) 28.

θῆκεν ... θ., τοῖσι [*ὃς φάτο,] δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
(Ψ) 108.—(Ψ) 153.—(δ) 183.

θνητός ... ὅς περ θ. τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδε·
(Ξ) 363.—(υ) 46.

θνητῶν ... οὔτε θεῶν μακάρων οὔτε θ. ἀνθράπων.
(ι) 521.—(H. Merc.) 143.—(H. Ven.) 35.

θοῇσιν ... στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θ. [*ποταμοῖο παρ' ὄχθας,]
*(Ξ) 533.—(ι) 54.

θρασύν ... ἤλυθον ἐς [*ἤλθεθ' ὑπὸ] Τροίην πόλεμον θ. ὁρμαίνοντες.
(Κ) 28.—*(δ) 146.

θρῆνυς ... καλοῦ δαιδαλέου· ὑπὸ δὲ θ. ποσὶν ἦεν·
(Ξ) 390.—(κ) 315.—(κ) 367.

θυγατέρες ... ἐξ μὲν θ., ἐξ δ' υἱέες ἡβώοντες.
(Ω) 604.—(κ) 6.

θυμόν ... εἷος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θ.[2]
(Α) 193.—(Λ) 411.—(Ρ) 106.—(Ξ) 15.—(δ) 120.—(ε) 365.—(ε) 424.

θυμόν ... ἥδε δέ οἱ [*μοι] κατὰ θ. ἀρίστη φαίνετο βουλή.
(Β) 5.—(Κ) 17.—(Ξ) 161.—*(ι) 318.—(H. Ven.) 235.

θυμόν ... ὃς φάτο, τῷ [*τῇ] δ' ἄρα θ. ἐνὶ στήθεσσιν ὄρινε[3]
(Γ) 395.—(Δ) 208.—(Λ) 804.—(Ν) 468.—(ρ) 150.

θυμόν ... ὃς εἰπὼν ὤτρυνε [*εἰποῦσ' ὤτρυνε] μένος καὶ θ. ἑκάστου.
(Ε) 470.—(Λ) 291.—(Ν) 155.—*(θ) 15.

θυμόν ... μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θ.
(Ε) 671.—(δ) 117.—(ω) 235.

θυμόν ... ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θ. ἱκάνει·
(Θ) 147.—(Ο) 208.—(Π) 52.—(σ) 274.

θυμόν ... ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θ.·
(Α) 403.—(Ρ) 90.—(Ξ) 5.—(Υ) 343.—(Φ) 53.—(Φ) 552.
(Χ) 98.—(ε) 298.—(ε) 355.—(ε) 464.

θυμόν ... φραζέσθω [*φραζέσθαι] δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θ.,
(Ο) 163.—*(α) 294.

θυμόν ... κινήσας δὲ [*βα] κάρη προτὶ ὃν μυθήσατο θ.·
*(Ρ) 200.—(Ρ) 442.—(ε) 285.—(ε) 376.

θυμός ... δαίνυντ', οὐδέ τι θ. ἐδεύετο δαιτὸς ἐίσης.
(Α) 468.—(Α) 602.—(Β) 431.—(Η) 320.—(Ψ) 56.—(π) 479.—(τ) 425.

θυμός ... ὄφρ' εἴπω τά με θ. ἐνὶ στήθεσσι κελεύει.[4]
(Η) 68.—(Η) 349.—(Η) 369.—(Θ) 6.—(η) 187.

θυμός ... αὐτὰρ ἐπεὶ [*οἱ δ' ἐπεὶ οὖν] σπείσάν τε πίον θ' ὅσον ἤθελε θ.,
(Γ) 177.—(γ) 342.—(γ) 395.—(η) 184.—(η) 228.—(σ) 427.
*(φ) 273.

θυμός ... Νέστορ, ἔμ' [*Ἕκτορ, ἔμ'] [†ἐείν', εἰ σ'] ὀτρύνει κραδίη καὶ θ. ἀγήνωρ
(Κ) 220.—*(Κ) 319.—†(σ) 61.

θυμός ... ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θ.
(Κ) 534.—(δ) 140.

θυμός ... αὖδα ὅτι φρονέεις· τελέσαι δέ με θ. ἄνωγεν,
(Ξ) 195.—(Ξ) 426.—(ε) 89.

θυμός ... κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θ.[5]
(Π) 469.—(κ) 163.—(τ) 454.

θυμός ... γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θ. ἰάνθη.
(Ω) 321.—(ο) 125.

θυμοῦ ... εὖτε τὸν ὕπνος ἔμαρπτε λύων μελεδήματα θ.,[6]
(Ψ) 62.—(υ) 56.

θυμῷ ... ὃς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θ.,[7]
(Χ) 224.—(ω) 545.

Ι

ἴαλλον ... οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἵ.
(Γ) 91.—(Ι) 221.—(Ω) 627.—(α) 149.—(δ) 67.—(δ) 218.
(ε) 200.—(θ) 71.—(θ) 484.—(ξ) 453.—(ο) 142.—(π) 54.
(ρ) 98.—(υ) 256.

ἰάνθη ... γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰ.
(Ω) 164.—(ο) 165.

ἴαχε ... στείρῃ πορφύρεον μεγάλ' ἴ. νηὸς ἰούσης·
(Α) 482.—(β) 428.

Ἰδαῖος ... κῆρυξ Ἰ., [*Πεισήνωρ,] πεπνυμένα μήδεα εἰδώς.
(Η) 278.—*(β) 38.

ἴδε ... ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴ. ἔργον,
(Ρ) 179.—(χ) 233.

ἴδον ... ἤντησ' οὐδὲ ἴ.· περὶ δ' ἄλλων φασὶ γενέσθαι.
(Δ) 375.—(δ) 201.

ἰδρώοντας ... οἱ δ' ἵππους μὲν λῦσαν [*ἔλυσαν] ὑπὸ ζυγοῦ ἰ.,
(Θ) 543.—*(δ) 39.

ἰδών ... ὧδε δέ τις εἴπεσκεν ἰ. ἐς πλησίον ἄλλον·
(Β) 271.—(Δ) 81.—(Χ) 372.—(θ) 328.—(κ) 37.—(ν) 167.
(σ) 72.—(σ) 400.—(φ) 396.

ἱέντες ... δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἰ.
(Β) 774.—(δ) 626.—(ρ) 168.

ἱερόν ... ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἰ. ἦμαρ,
(Θ) 66.—(Λ) 83.—(ι) 56.

ἷζεν ... αὐτὸς [*αὐτὴ] δ' ἀντίον ἵ. Ὀδυσσῆος θείοιο
(Ι) 218.—*(ε) 198.—(π) 53.

ἱκάνει ... ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἰ.·
(Θ) 147.—(Ο) 208.—(Π) 52.—(σ) 274.

ἱκάνοι ... ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἰ.·
(Α) 610.—(τ) 49.

ἱκάνομαι ... τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἰ., αἴ κ' ἐθέλῃσθα
(Ξ) 457.—(γ) 92.—(δ) 322.

ἵκοντο ... οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵ.,
(Α) 432.—(π) 324.

Ἴλιον ... Ἴ. εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο. [*μαχοίμην.]
(Π) 576.—*(λ) 169.—(ξ) 71.

ἵμασεν ... ὡς ἄρα φωνήσας ἵ. [*ἔλασεν] καλλίτριχας ἵππους
(Α) 531.—(ε) 380.—(ο) 215.

ἵμερον ... ὃς φάτο, [*θῆκεν,] τοῖσι δὲ πᾶσιν ὑφ' ἵ. ὦρσε γόοιο.
(Ψ) 108.—*(Ψ) 153.—(δ) 183.

ἵμερον ... ὃς φάτο, τῷ δ' ἄρα πατρὸς ὑφ' ἵ. ὦρσε γόοιο·
(Ω) 507.—(δ) 113.

ἵν' ... ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ἵ. ἀπέλεθρον,
(Η) 269.—(ι) 538.

ἷξον ... οἱ δ' ἵ. [*εἶχον] κοίλην Λακεδαίμονα κητώεσσαν,
*(Β) 581.—(δ) 1.

ἰοῦσα ... ἀλλ' εἰς οἶκον ἰ. τὰ σ' αὐτῆς ἔργα κόμιζε,
(Ζ) 490.—(α) 356.—(φ) 350.

ἰούσης ... στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰ.·
(Α) 482.—(β) 428.

ἰππείῃσι ... καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἰ. [*ἐπ' ἀμβροσίῃσι] κάπῃσιν,
*(Θ) 434.—(δ) 40.

ἵππευ ... τὸν δ' ἐπικερτομέων προσέφης Πατρόκλεις ἰ. [*Εὔμαιε συβῶτα·][8]
(Π) 744.—*(χ) 194.

ἱππῆες ... πεζοί θ' ἰ. τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
(Β) 810.—(Θ) 59.—(ω) 70.

ἱππόδαμον ... Κάστορά θ' ἰ. καὶ πυξ ἀγαθὸν Πολυδεύκεα,[9]
(Γ) 237.—(λ) 300.

ἵππουριν ... ἵ.· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
(Γ) 337.—(Λ) 42.—(Ο) 481.—(Π) 138.—(χ) 124.

---

[1] Comp. ξ 158, ρ 155, υ 230.
[2] Comp. K 507.
[3] Comp. B 142, Z 51, φ 96.
[4] Comp. T 102.
[5] Comp. σ 98.
[6] Comp. ψ 343.
[7] Comp. Φ 423.
[8] Comp. Ω 649.
[9] Comp. H. xxxiii. 3.

κύματα ... ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κ. πείραν.
(Ω) 8.—(θ) 183.—(ν) 91.—(ν) 264.

κυνέην ... κρατὶ δ' ἐπ' ἰφθίμῳ κ. εὔτυκτον ἔθηκεν,
(Γ) 336.—(Ο) 480.—(Π) 137.—(χ) 123.

Λ

λάβε ... δὴν δέ μιν ἀμφασίη ἐπέων λ., τὼ δέ οἱ ὄσσε
(Ρ) 695.—(δ) 704.

Λαερτιάδη ... διογενὲς Λ., πολυμήχαν' Ὀδυσσεῦ,
(Β) 173.—(Δ) 358.—(Θ) 93.—(Ι) 308.—(Ι) 624.—(Κ) 144.—(Ψ) 723.—(ε) 203.—(κ) 401.—(κ) 456.—(κ) 488. (κ) 504.—(λ) 60.—(λ) 405.—(λ) 473.—(λ) 617.—(ν) 375. (ξ) 486.—(π) 167.—(χ) 164.—(ω) 542.

λαθοίμην ... πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λ.,
(Κ) 243.—(α) 65.

Λακεδαίμονα ... οἱ δ' εἶχον [*ἷξον] κοίλην Λ. κητώεσσαν,
(Β) 581.—*(δ) 1.

λαμπετόωντι ... πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λ. εἴκτην.
(Α) 104.—(δ) 662.

Λαοδάμα ... Λ., [*Ἶρι θεά,] μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες.
*(Ο) 206.—(θ) 141.

λαῶν ... Ἀτρείδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λ.,
(Ρ) 12.—(δ) 156.—(δ) 291.—(δ) 316.—(ο) 64.—(ο) 87.

λεῖβε ... λ.· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
(Α) 463.—(γ) 460.

λείψαντε ... χρυσέῳ ἐν δέπαϊ, ὄφρα λ. κοιήτην·
(Ω) 285.—(ο) 149.

λευγαλέῳ ... νῦν δέ με λ. θανάτῳ εἵμαρτο ἁλῶναι[1]
(Φ) 281.—(ε) 312.

λεχέων ... Ἠὼς δ' ἐκ λ. παρ' ἀγανοῦ Τιθωνοῖο
(Λ) 1.—(ε) 1.

λήσει ... σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λ.[2]
(Ψ) 326.—(λ) 126.

λιγυφθόγγοισι ... αὐτὰρ ὁ [*αὐτίκα] [†αἶψα δὲ] κηρύκεσσι λ. κέλευσε
(Β) 50.—*(Β) 442.—†(β) 6.

λίην ... θάρσει, μηδέ τι πάγχυ [*σῇσι] μετὰ φρεσὶ δείδιθι λ.·
(δ) 825.—*(H. Ven.) 193.

λιμένος ... οἱ δ' ὅτε δὴ λ. πολυβενθέος ἐντὸς ἵκοντο,
(Α) 432.—(π) 324.

λιπαροῖσιν ... ποσσὶ δ' ὑπὸ λ. ἐδήσατο καλὰ πέδιλα,
(Β) 44.—(Κ) 22.—(Κ) 132.—(Ξ) 186.—(β) 4.—(δ) 309. (υ) 126.

λοετροχόον ... οἱ [*αἱ] δὲ λ. τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
(Σ) 346.—*(θ) 435.

λοετρῶν ... οἵη δ' ἄμμορός ἐστι λ. Ὠκεανοῖο·
(Σ) 489.—(ε) 275.

λοῦσαν ... ἔνθα δέ μιν χάριτες λ. καὶ χρῖσαν ἐλαίῳ
(θ) 364.—(H. Ven.) 61.

λούσαντο ... ἓς ῥ' [ἐς δ'] ἀσαμίνθους βάντες ἐυξέστας λ.
(Κ) 576.—(δ) 48.—*(ρ) 87.

λόφος ... ἵππουριν· δεινὸν δὲ λ. καθύπερθεν ἔνευεν.
(Γ) 337.—(Λ) 42.—(Ο) 480.—(Π) 138.—(χ) 124.

λόχον ... ἡμὲν ἀνακλῖναι πυκινὸν λ. [*νέφος] ἠδ' ἐπιθεῖναι.
(Ε) 751.—(Θ) 395.—(λ) 525.

λυγρῷ ... σχέσθε φίλοι, καί μ' οἷον ἐάσατε, πένθεϊ λ. [*κηδόμενοί περ,]
*(Χ) 416.—(Β) 70.

λῦσαν ... οἱ δ' ἵππους μὲν λ. [*ἔλυσαν] ὑπὸ ζυγοῦ ἱδρώοντας,
(Θ) 543.—*(δ) 39.

λῦσαν ... ὣς ἄρ' ἐφώνησεν, λ. [*λῦσεν] δ' ἀγορὴν αἰψηρήν.
*(Τ) 276.—(β) 257.

λῦσεν ... ὣς ἄρ' ἐφώνησεν, λ. [*λῦσαν] δ' ἀγορὴν αἰψηρήν.
(Τ) 276.—*(β) 257.

λύτο ... ὣς φάτο, τοῦ δ' αὐτοῦ λ. γούνατα καὶ φίλον ἦτορ·[3]
(Φ) 114.—(ω) 345.

λύων ... εὖτε τὸν ὕπνος ἔμαρπτε λ. μελεδήματα θυμοῦ,
(Ψ) 62.—(υ) 56.

Μ

μακάρεσσι ... ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μ. θεοῖσιν,
(Α) 599.—(θ) 326.

μακάρεσσι ... ὅρκος δεινότατός τε πέλει μ. θεοῖσι,
(Ο) 38.—(ε) 186.—(H. Apoll.) 86.

μακάρων ... οὔτε θεῶν μ. οὔτε θνητῶν ἀνθρώπων.
(ι) 321.—(H. Merc.) 143.—(H. Ven.) 35.

μακρά ... ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ' ἕρματα μ. τάνυσσαν·
(Α) 486.—(H. Apoll.) 507.

μακρόν ... Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μ. Ὄλυμπον,[4]
(Ω) 694.—(κ) 307.

μακών ... κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μ., ἀπὸ δ' ἔπτατο θυμός.[5]
(Π) 469.—(κ) 163.—(τ) 454.

μάλ' ... οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μ. ὦκα. κ.τ.λ.
(Β) 52.—(β) 8.

μάλα ... ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μ. μὲν κλύον ἠδ' ἐπίθοντο, κ.τ.λ.
(Η) 379.—(Ι) 79.—(Ξ) 133.—(Ξ) 378.—(Ο) 300.—(Ψ) 54.—(Ψ) 738.—(γ) 477.—(ζ) 247.—(ο) 220.—(υ) 157.—(χ) 178.—(ψ) 148.—(H. Apoll.) 502.

μάστιξεν ... μ. δ' ἐλάαν, [*νῆας δὲ γλαφυράς·] [†μ. δ' ἵππους,] [‡μ. ῥ' ἐλάαν,] τὼ δ' οὐκ ἀέκοντε [§ἀκοντε] πετέσθην.
(Ε) 366.—†(Ε) 768.—(Θ) 45.—†(Κ) 530.—*(Λ) 281.—†(Λ) 519.—‡(Χ) 400.—(γ) 484.—(γ) 494.—§(ο) 192.

Μαστορίδης ... Μ.· [Πανθοίδης·] ὁ γὰρ οἷος ὄρα πρόσσω καὶ ὀπίσσω
*(Σ) 250.—(ω) 452.

μάχην ... στησάμενοι δ' ἐμάχοντο μ. ποταμοῖο παρ' ὄχθας, [*παρὰ νηυσὶ θοῇσιν,]
(Σ) 533.—*(ι) 54.

μαχητήν ... Εὔδωρον, [*Ἀντίλοχον,] περὶ μὲν θείειν ταχὺν ἠδὲ μ.[6]
(Π) 186.—*(δ) 202.

μαχοίμην ... Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μ. [*μάχοιτο.]
(Π) 576.—(λ) 169.—(ξ) 71.

μάχοιτο ... Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μ. [*μαχοίμην.]
(Π) 576.—*(λ) 169.—(ξ) 71.

μέγα ... ἀχνύμενος· μένεος δὲ μ. φρένες ἀμφιμέλαιναι κ.τ.λ.
(Α) 103.—(δ) 661.

μεγάλ' ... στείρῃ πορφύρεον μ. ἴαχε νηὸς ἰούσης·
(Α) 482.—(β) 428.

μεγαλήτορα ... ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μ. θυμόν·
(Λ) 403.—(Ρ) 90.—(Σ) 5.—(Υ) 343.—(Φ) 53.—(Χ) 98
(ε) 298.—(ε) 355.—(ε) 464.

μέγαν ... κρατὸς ἀπ' ἀθανάτοιο· μ. δ' ἐλέλιξεν Ὄλυμπον.
(Α) 530.—(H. xxxiv.) 15.

μέγαν ... ἀμφὶ πυρὶ στῆσαι τρίποδα μ., ὄφρα τάχιστα [πέλοιτο] [†ὅττι πέλοιτο]
(Σ) 344.—*(Χ) 443.—†(θ) 434.

μεγάροιο ... αἱ δ' ἴσαν ἐκ μ. δάος μετὰ χερσὶν ἔχουσαι,
(Ω) 647.—(δ) 300.—(η) 339.

μέγεθος ... εἶδός τε μ. τε φυήν τ' ἄγχιστα ἐῴκει. [*ἐΐσκε
(Β) 58.—*(ζ) 152.

---

[1] Comp. ω 34.
[2] Comp. ψ 273.
[3] Comp. Φ 425, δ 703, χ 68, ψ 205.
[4] Comp. Ω 468.
[5] Comp. σ 98.
[6] Comp. γ 112.

μέγιστος ... ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μ.,
(Ζ) 294.—(ο) 107.

μέγιστος ... καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μ.
(Ο) 37.—(ε) 185.—(H. Apoll.) 85.

μειλιχίοισι ... δεξιῇ [*χερσίν τ'] ἠσπάζοντο ἔπεσσί τε μ.
(Κ) 542.—*(τ) 415.

μέλαινα ... ὡς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μ.,
(Ρ) 591.—(Σ) 22.—(ω) 315.

μέλαιναν ... νῆα μὲν οἵ γε μ. ἐπ' ἠπείροιο ἔρυσσαν
(Α) 485.—(π) 325.

μελαίνῃ ... ἀλλ' ἤ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μ.
(Θ) 502.—(Ι) 65.—(μ) 291.

μελεδήματα ... εὕτε τὸν ὕπνος ἕμαρπτε λύων μ. θυμοῦ,[1]
(Ψ) 62.—(υ) 56.

μέλεσσιν ... ἔσθ' [*Ἰς,] οἵῃ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μ.[2]
(Α) 669.—*(φ) 283.—(H. Ven.) 238.

μελήσει ... ἔργον ἐποίχεσθαι· πόλεμος [*μῦθος] [†τόξον] δ' ἀνδρεσσι μ.
(Ζ) 492.—*(α) 358.—†(φ) 352.

μελίφρονα ... οἶνον ἔχουσ' [*ἔχων] ἐν χειρὶ μ. δεξιτερῇφι
(Ω) 284.—*(ο) 148.

μεμαυῖαν ... ὡς εἰπὼν ὤτρυνε [*ὄτρυνε] πάρος μ. Ἀθήνην,
(Δ) 73.—(Τ) 349.—(Χ) 186.—*(ω) 487.

μενεαίνων ... τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μ.,
(Φ) 176.—(φ) 125.

Μενέλαε ... Ἀτρείδη Μ., διοτρεφὲς, ὄρχαμε λαῶν,
(Ρ) 12.—(δ) 156.—(δ) 291.—(δ) 316.—(ο) 64.—(ο) 87.

μένεος ... ἀχνύμενος· μ. δὲ μέγα φρένες ἀμφιμέλαιναι
(Α) 103.—(δ) 661.

μένοιεν ... ἀρρήκτους ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μ.
(Ν) 37.—(θ) 275.

μένος ... ὡς εἰπὼν ὤτρυνε [*εἰποῦσ' ὄτρυνε] μ. καὶ θυμὸν ἑκάστου
(Ε) 470.—(Α) 291.—(Ν) 155.—*(θ) 15.

μένος ... ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μ. οὐδενὶ εἴκων.
(Χ) 459.—(λ) 515.

μερμήριξε ... μ. δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
(Ε) 671.—(δ) 117.—(ω) 235.

μέσον ... ἦμος δ' ἠέλιος μ. οὐρανὸν ἀμφιβεβήκει, [*ἀμφιβεβήκῃ,][3]
(Θ) 68.—*(δ) 400.

μεσσηγύς ... ὤμων μ., διὰ δὲ στήθεσφιν ἔλασσε.
(Ε) 41.—(Ε) 57.—(Θ) 259.—(Λ) 448.—(χ) 93.

μέσσους ... μολπῆς ἐξάρχοντος ἐδίνευον κατὰ μ.
(Σ) 606.—(δ) 19.

μεταλλᾷς ... τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μ.·[4]
(Γ) 177.—(η) 243.—(ο) 402.—(τ) 171.

μετέειπεν ... ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μ.·
(Α) 73.—(Α) 253.—(Β) 78.—(Β) 283.—(Η) 326.—(Η) 367.
(Ι) 95.—(Ο) 285.—(β) 160.—(β) 228.—(η) 158.—(π) 399.
(ω) 53.—(ω) 453.

μετείη ... κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μ.
(Υ) 235.—(ο) 251.

μετενίσσετο ... ἦμος δ' ἠέλιος μ. βουλυτόνδε,
(Π) 779.—(ι) 58.

μευ ... κλῦθί μ. αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη, κ.τ.λ.[5]
(Ε) 115.—(δ) 762.—(ζ) 324.

μήδεα ... κῆρυξ Ἰδαῖος, [*Πεισήνωρ,] πεπνυμένα μ. εἰδὼς
(Η) 278.—*(β) 38.

μήδεα ... ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μ. οἶδε·
(Σ) 363.—(υ) 46.

μήλων ... μ. πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν.
(Μ) 301.—(ζ) 134.

μῆρα ... αὐτὰρ ἐπεὶ κατὰ μ. κάη καὶ σπλάγχνα πάσαντο
(Α) 464.—(Β) 427.—(γ) 461.—(μ) 364.

μηρί' . . ἡ βοὸς ἢ διος κατὰ πίονα μηρία καίων [*μ. ἔκηεν,]
(Ο) 373.—*(δ) 764.

μηρία ... ἡ βοὸς ἢ διος κατὰ πίονα μηρί' ἔκηεν, [*μ. καίων]
*(Ο) 373.—(δ) 764.

μηροῦ ... σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μ.
(Π) 473.—(κ) 439.—(λ) 230.

μηρούς ... μ. τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
(Α) 460.—(Β) 423.—(μ) 360.

μηρώ ... ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὃ πεπλήγετο μ.
(Ο) 397.—(ν) 198.

μήτηρ ... οὔτε θεοπροπίῃς ἐμπάζομαι, ἤν τινα μ., [*οἶδα,]
*(Π) 50.—(α) 415.

μητίετα ... ὡς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μ. Ζεύς.[6]
(Π) 249.—(Ω) 314.—(υ) 102.

μιν ... ἔνθα πάρος κοιμᾶθ', ὅτε μ. γλυκὺς ὕπνος ἱκάνοι· κ.τ.λ.
(Α) 610.—(τ) 49.

μίστυλλον ... μ. τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
(Α) 465.—(Β) 428.—(γ) 462.—(μ) 365.—(ξ) 430.

μίστυλλον ... μ. τ' ἄρ' ἐπισταμένως πείρᾶν τ' ὀβελοῖσιν,
(Η) 317.—(Ω) 623.—(τ) 422.

μοῖραν ... ναὶ δὴ ταῦτά γε πάντα φίλος [*τέκος,] κατὰ μ. ἔειπες.
(Κ) 169.—*(σ) 170.

μοῖραν ... Ἶρι θεὰ, [*Λαοδάμα,] μάλα τοῦτο ἔπος κατὰ μ. ἔειπες.
(Ο) 206.—*(θ) 141.

μολπῆς ... μ. τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
(Ν) 637.—(ψ) 145.

μολπῆς ... μ. ἐξάρχοντος ἐδίνευον κατὰ μέσσους.
(Σ) 606.—(δ) 19.

μορόεντα ... τρίγληνα μ.· χάρις δ' ἀπελάμπετο πολλή.
(Ξ) 183.—(σ) 298.

μυθήσατο ... κινήσας δὲ [*ῥα] κάρη προτὶ ὃν μ. θυμόν·
*(Ρ) 200.—(Ρ) 442.—(ε) 285.—(ε) 376.

μύθοισι ... μύθοισιν τέρποντο [*τερπέσθην μ.,] πρὸς ἀλλήλους ἐνέποντες.
(Λ) 643.—*(ψ) 301.

μύθοισιν ... τερπέσθην μύθοισι [*μ. τέρποντο] πρὸς ἀλλήλους ἐνέποντες
*(Λ) 643.—(ψ) 301.

μῦθον ... στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν [*με] πρὸς μ. ἔειπεν·
*(Β) 59.—(Ψ) 68.—(Ω) 682.—(δ) 803.—(ζ) 21.—(υ) 32.
(ψ) 4.

μῦθον ... ὡς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα μ. ἔειπεν.
(Ι) 173.—(σ) 422.

μῦθος ... ἔργον ἐποίχεσθαι· πόλεμος [*μ.] [†τόξον] δ' ἀνδρεσσι μελήσει
(Ζ) 492 —*(α) 358.—†(φ) 352.

μύθων ... τοῖσι δὲ μ. ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
(Ε) 420.—(η) 47.

μύθων ... τοῖσι δὲ μ. ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
(Χ) 167.—(α) 28.

N

ναί ... ν. δὴ ταῦτά γε πάντα φίλος [*τέκος,] κατὰ μοῖραν ἔειπες
(Κ) 169.—*(σ) 170.

νείατος ... ἀστὴρ δ' ὡς ἀπέλαμπεν· ἔκειτο δὲ ν. ἄλλων.
(Ζ) 295.—(ο) 108.

νεικείειν...ν. ἐθέλῃ *νείκειον δ' Ὀδυσῆα] χολωτοῖσιν ἐπέεσσιν.[7]
(Ο) 210.—*(χ) 26.

νείκειον...ν. δ' Ὀδυσῆα [*νεικείειν ἐθέλῃσι] χολωτοῖσιν ἐπέεσσιν.[8]
*(Ο) 210.—(χ) 26.

---

[1] Comp. ψ 343.
[2] Comp. λ 394.
[3] Comp. Π 777.
[4] Comp. α 231, ο 390.
[5] Comp. Β 157, Κ 278.
[6] Comp. Α 43, 457, Π 527.
[7] Comp. Δ 241, χ 225.
[8] Ibid.

νέοι ... λείβε· ν. δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
(A) 463.—(γ) 460.

νέον ... ἠέλιος μὲν ἔπειτα ν. προσέβαλλεν ἀρούρας,
(H) 421.—(τ) 433.

Νέστορ ... ὦ N. Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
(K) 87.—(K) 555.—(Λ) 511.—(Ξ) 42.—(γ) 79.—(γ) 202.

Νέστορ ... N., ἔμ' [*Ἕκτορ, ἔμ'] [†ξεῖν', εἴ σ'] ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
(K) 220.—*(K) 319.—†(σ) 61.

Νέστωρ ... N., οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
(E) 325.—(I) 94.—(ω) 52.

νεῦσε ... ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι ν. Κρονίων.
(A) 528.—(P) 209.—(H. xxxiv.) 13.

νεφέλη ... ὅτ φάτο, τὸν δ' ἄχεος ν. ἐκάλυψε μέλαινα.
(P) 591.—(Σ) 22.—(ω) 315.

νέφος ... ἠμὲν ἀνακλῖναι πυκινὸν ν. [*λόχον] ἠδ' ἐπιθεῖναι,
(E) 751.—(Θ) 395.—*(λ) 525.

νῆα ... ν. μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν
(A) 485.—(π) 325.

νῆα ... οἱ μὲν ἄρ' ἐσκίδναντο ἐὴν ἐπὶ ν. [*ἐὰ πρὸς δώμαθ'] ἕκαστος,
(T) 277.—(Ψ) 3.—*(β) 258.

νήεσσιν ... ὅσσοι γὰρ ν. [*νήσοισιν] ἐπικρατέουσιν ἄριστοι,
(K) 214.—*(α) 245.—*(π) 122.—*(τ) 130.

Νηληιάδη ... ὦ Νέστορ N., μέγα κῦδος Ἀχαιῶν,
(K) 87.—(K) 555.—(Λ) 511.—(Ξ) 42.—(γ) 79.—(γ) 202.

νηός ... στείρῃ πορφύρεον μεγάλ' ἴαχε ν. Ἰούσης·
(A) 482.—(β) 428.

νήπιος ... ν., οὐδὲ τὸ ἤδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
(T) 466.—(γ) 146.

νήσοισιν ... ὅσσοι γὰρ ν. [*νήεσσιν] ἐπικρατέουσιν ἄριστοι,
*(K) 214.—(α) 245.—(π) 122.—(τ) 130.

νήσῳ ... ἀλλ' ὁ μὲν ἐν ν. κεῖτο [*κεῖται] κρατέρ' ἄλγεα πάσχων,
(B) 721.—*(ε) 13.

νηῦς ... ν. ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
(ο) 294.—(H. Apoll.) 435.

νηυσί ... στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας, [*παρὰ ν. θοῇσιν,]
(Σ) 533.—*(ι) 54.

νικᾷ ... ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα ν.
(A) 576.—(σ) 404.

νικήσῃ ... ὁππότερος δέ κε ν. κρείσσων τε γένηται,[1]
(Γ) 71.—(Γ) 92.—(σ) 46.

νόος ... παύετ' ἐπεί [*ἀλλ' ὅτε δή] μιν ἔγειρε Διὸς ν. αἰγιόχοιο.
(O) 242.—*(ω) 164.

νυκτί ... ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα ν. μελαίνῃ
(Θ) 502.—(I) 65.—(μ) 291.

νύξε ... ν.· [*πλῆξα·] τὸ δ' ἀντικρὺ [*ἀντικρὺς] δόρυ χάλκεον ἐξεπέρησε
(Π) 346.—*(κ) 162.

νώμησαν ... ν. [*νώμησεν] δ' ἄρα πᾶσιν ἐπαρξάμενοι [*ἐπαρξάμενος] δεπάεσσιν·
(A) 471.—(I) 176.—(γ) 340.—*(η) 183.—(φ) 272.

νώμησεν ... νώμησαν [*ν.] δ' ἄρα πᾶσιν ἐπαρξάμενοι [*ἐπαρξάμενος] δεπάεσσιν·
(A) 471.—(I) 176.—(γ) 340.—*(η) 183.—(φ) 272.

νώροπα ... αὐτὰρ ἐπεί β' ἕσσαντο περὶ χροΐ ν. χαλκὸν,
(Ξ) 383.—(ω) 467.—(ω) 500.

νώτοισιν ... ν. δ' Αἴαντα [*Ὀδυσῆα] διηνεκέεσσι γέραιρεν
(H) 321.—*(ξ) 437.

Ξ

ξεῖν' ... Νέστορ, ἔμ' [*Ἕκτορ ἔμ'] [†ξ., εἴ σ'] ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
(K) 220.—*(K) 319.—†(σ) 61.

ξείνια ... ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξ. θείω.
(Σ) 387.—(ε) 91.

ξύλα ... ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξ. δαῖον ἐλόντες· [*ἐλοῦσαι]
(Σ) 347.—*(θ) 436.

O

ὀβελοῖσιν ... μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀ. ἔπειραν,
(A) 465.—(B) 428.—(γ) 462.—(μ) 360.—(ξ) 430.

ὀβελοῖσιν ... μίστυλλόν τ' ἄρ' ἐπισταμένως πείράν τ' ὀ.,
(H) 317.—(Ω) 623.—(τ) 422.

ὀβριμοπάτρη ... ἠρώων, τοῖσίν τε κοτέσσεται ὀ.
(E) 747.—(Θ) 391.—(α) 101.

ὀδόντων ... τέκνον ἐμὸν, [*Ἀτρείδη,] ποῖόν σε ἔπος φύγεν ἕρκος ὀ.[2]
(Δ) 350.—(Ξ) 83.—(α) 64.—(ε) 22.—(τ) 492.—(ψ) 70.

ὀδύρομαι ... τῶν πάντων οὐ τόσσον ὀ. ἀχνύμενός περ,
(X) 424.—(δ) 104.

ὀδυρομένοισιν ... καί νύ κ' ὀ. ἔδυ φάος ἠελίοιο,[3]
(Ψ) 154.—(π) 220.—(φ) 226.

Ὀδυσεῦ ... γουνοῦμαί σ' Ὀ., [*Ἀχιλεῦ·] σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον·
*(Φ) 74.—(χ) 312.—(χ) 344.

Ὀδυσῆα ... νώτοισιν δ' Ὀ. [*Αἴαντα] διηνεκέεσσι γέραιρεν
*(H) 321.—(ξ) 437.

Ὀδυσῆα ... νείκειον Ὀ. [*νεικείειν ἐθέλῃσι] χολωτοῖσιν ἐπέεσσιν.[4]
*(O) 210.—(χ) 26.

Ὀδυσῆος ... πῶς ἂν ἔπειτ' Ὀ. ἐγὼ θείοιο λαθοίμην,
(K) 243.—(α) 65.

Ὀδυσσεῦ ... διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀ.,
(B) 173.—(Δ) 358.—(Θ) 93.—(I) 308.—(I) 624.—(K) 144.
(Ψ) 723.—(ε) 203.—(κ) 401.—(κ) 456.—(κ) 488.—(κ) 504.
(λ) 60.—(λ) 405.—(λ) 473.—(λ) 617.—(ν) 375.—(ξ) 486.
(π) 167.—(χ) 164.—(ω) 542.

Ὀδυσσεύς ... τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀ.·
(K) 382.—(K) 423.—(K) 554.—(T) 154.—(T) 215.—
(η) 207.—(η) 302.—(θ) 152.—(θ) 412.—(ι) 1.—(λ) 354.—
(λ) 377.—(ξ) 191.—(ξ) 391.—(ο) 380.—(π) 201.—(ρ) 16.
(ρ) 192.—(ρ) 353.—(σ) 124.—(σ) 365.—(τ) 41.—(υ) 168.
(υ) 226.—(χ) 105.—(χ) 170.—(ψ) 129.—(ω) 302.—
(ω) 330.—(ω) 356.—(ω) 406.

Ὀδυσσεύς ... τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀ.·
(K) 400.—(χ) 371.

Ὀδυσσῆα ... αἶψα δ' Ὀ. [*δὲ Πάτροκλον] προσεφάνεεν ἐγγὺς ἐόντα·
*(I) 201.—(Λ) 346.—(χ) 163.

Ὀδυσσῆος ... αὐτὸς [*αὐτὴ] δ' ἀντίον ἷζεν Ὀ. θείοιο
(I) 218.—*(ε) 198.—(π) 53.

οἷα ..., ἀμβρότῳ, ο. θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας,
(θ) 367.—(H. Ven.) 62.

οἶδα ... οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα ο., [*μήτηρ,][5]
(Π) 50.—*(α) 415.

οἶδε ... ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα ο.·
(Σ) 363.—(υ) 46.

οἴη ... οὐκ ο., ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο,
(Γ) 143.—(α) 331.—(σ) 207.

οἴη ... ο. τ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο
(Σ) 489.—(ε) 275.

---

[1] Comp. σ 84.
[2] Comp. γ 230, φ 168.
[3] Comp. ψ 241.
[4] Comp. Δ 241, χ 225.
[5] Comp. β 201.

οἴη ... ἔσθ' [*ἷς,] ο. πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.[1]
(Λ) 669.—*(φ) 283.—(H. Ven.) 238.

οἶκον ... ἀλλ' εἰς ο. ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
(Ζ) 490.—(α) 356.—(φ) 350.

οἰκόνδε ... οἱ μὲν [*δὴ τότε] κακκείοντες ἔβαν ο. [†κλισίηνδε] ἕκαστος,
(Α) 606.—†(Ψ) 58.—*(α) 424.—(γ) 396.—(η) 229.—(ν) 17.

οἰκόνδε ... οὕτω δὴ ο., φίλην ἐς πατρίδα γαῖαν,
(Β) 158.—(Β) 174.—(ε) 204.

οἴμησεν ... ο. δὲ ἀλεὶς ὥς τ' αἰετὸς ἰψιπετήεις,
(Χ) 308.—(ω) 538.

οἶνον ... καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα ο.
(Α) 462.—(γ) 459.

οἶνον ... ο. ἔχουσ' [*ἔχων] ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
(Ω) 284.—*(ο) 148.

οἷο ... κάλλεος εἵνεκα ο., ἵν' ἀθανάτοισι μετείη·
(Υ) 235.—(ο) 251.

οἷον ... ὦ πόποι ἐννοσίγαι' εὐρυσθενές, ο. ἔειπες.[2]
(Η) 455.—(ν) 140.

οἷον ... σχέσθε φίλοι, καί μ' ο. ἐάσατε, κηδόμενοί περ, [*πένθεϊ λυγρῷ]
(Χ) 416.—*(β) 70.

οἷος ... ἢ βοὸς ἢ ὅ. κατὰ πίονα μηρία καίων [*μηρί' ἔκηεν,]
(Ο) 373.—*(δ) 764.

οἷος ... Πανθοίδης· [*Μαστορίδης·] ὁ γὰρ ο. ὄρα πρόσσω καὶ ὀπίσσω.
(Σ) 250.—*(ω) 452.

οἷς ... ο. ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.[3]
(Ω) 759.—(γ) 280.—(ο) 411.

